UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Strategio Monacho. 266.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

κοντας, καὶ ἐπιφοιτᾶν αὐτοῖς οὐκ ἀνέχεται. φιλεῖ δὲ μάλιστα πάντων τοὺς ὀλιγοδείᾳ καὶ αὐταρκείᾳ τὸν ἑαυτῶν κοσμοῦντας βίον, ἀσμένως αὐτοῖς ἐπιφοιτᾷ.

Στρατηγίῳ μοναχῷ. σξϛ.

Ὅταν εὐβουλίας προκαθηγουμένης πᾶσα ἡ τοῦ ἀνθρώπου δύναμις ὑπουργήσῃ εἰς τὴν ἀρετὴν, πᾶσαν ἐκποδὼν ποιησαμένη σκῆψιν καὶ μέλλησιν· τότε δὴ τότε ὁ θεὸς εἰς τέλος ταύτην ἄγει, ὁ καὶ τοὺς μὴ βουλομένους αὐτὴν ἑλέσθαι, εἰς τὸ ἑλέσθαι παραθήγων. οὐ γάρ ἐστι τοῦ αὐτοῦ, τοὺς μὲν ἀποδιδράσκοντας αὐτὴν εἰς αὐτὴν συνελαύνειν, τοῖς δ' ἀφ' ἑαυτῶν ἑλομένοις, χεῖρα βοηθείας μὴ ὀρέγειν.

Ἀντιόχῳ. σξζ.

Ἔοικας ἀγνοεῖν, ὅτι ὁ συνεχῶς τὰ λυττῶντα πάθη τοῦ σώματος νικῶν, τοῖς τροπαίοις ἀγαλλόμενος, τοὺς πόνους ὑπὸ τῆς εὐφροσύνης λανθάνει κλεπτόμενος.

Ὠρίωνι μονάζοντι. σξη.

Πυνθάνομαι, ὅτι τῷ μὲν σχήματι τῆς ἀγωνίας, ἑνός· τῷ δ' ἀληθεῖ, πάντων ἐκράτησας τῶν ὁμηλίκων. ὁ γὰρ τῶν μὲν ἄλλων εἰς ταπεινοφροσύνην προκριθεὶς, δεύτερος δὲ σοῦ πεφηνὼς, πάντας ἡττημένους ἔδειξεν.

Ἀπολλωνίῳ ἐπισκόπῳ. σξθ.

Ἡ πενία, ὅταν τὴν ἱκεσίαν ἀτιμάσασα ἐπὶ κατηγορίαν τραπείη, καὶ τῇ συμφορᾷ εἰς φιλοπραγμοσύνην καταχρήσηται, καὶ ἀντιδίκου κατηγόρου ἀνθ' ἱκέτου καὶ πρόσφυγος σχῆμα ἀναδέξηται, ἐλεεῖσθαι οὐκ ἂν εἴη δικαία. διὸ καὶ ἡ τῆς δικαιοσύνης πηγὴ, ἔφη, οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει. ἐλεεῖσθαι μὲν γὰρ δεόμενον καὶ ἀντιβο-

auiditate pecunias conſectantur, nec ad eos venire ſuſtinent. Contrà omnium maximè illas amant qui parſimonia & frugalitate vitam ſuam ornant, lubentérque ad ipſos ventitant.

*Strategio Monacho.* 266.

Cum probo conſilio præeunte omnis hominis vis, omni excuſatione ac mora de medio ſublata, ad virtutem inſeruit, tũ verò Deus, qui ad eam amplectendam etiam nolẽtes ac recuſantes incitat, ad finẽ vſque perducit. Neque enim conſentaneũ eſt, qui ipſam fugiẽtes ad eam compellat, eundem iis qui ſuapte ſponte ipſam ſibi amplexandam propoſuerunt, auxiliarem manum minimè porrigere.

*Antiocho.* 267.

Illud ignorare videris, eum, qui rabida corporis vitia perpetuò vincit, ob eiuſmodi trophæa exultantem, præ voluptate ne labores quidem ſentire.

*Orioni Monacho.* 268.

Audio te certaminis quidem ſpecie vnum, reuera autem omnes æquales tuos ſuperaſſe. Nam qui humilitatis ac modeſtiæ nomine aliis prælatus, te inferior eſſe compertus es, hinc ſcilicet omnes à te ſuperatos eſſe demonſtrauit.

*Apollonio Epiſcopo.* 269.

Paupertas, cùm ſupplicibus verbis contemptis ad accuſandum ſe conuertit, atque calamitate ad negotium aliis faceſſendum abutitur, aduerſariíque & accuſatoris, non ſupplicis & opem implorantis ſpeciem aſſumit, miſericordia haudquaquam digna eſt. Vnde etiã ipſemet iuſtitiæ fons his verbis vtitur: Non miſereberis pauperis in iudicio. Eius enim calamitate com-